UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

V. De morte Constantini Junioris.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

A

Κεφ. δʹ.

Ὡς τελευτήσαντος Εὐσεβίου τοῦ Παμφίλου, Ἀκάκιος τὴν ἐπισκοπὴν Καισαρείας διεδέξατο.

ΕΝ δὲ τῷδε τῷ χρόνῳ τελευτήσαντος Εὐσεβίου, ὃς τῆς ἐν Παλαιστίνῃ Καισαρείας ἐπίσκοπος ἦν, καὶ τὴν Παμφίλου προσωνυμίαν ἐκέκλητο, Ἀκάκιος μαθητὴς αὐτοῦ τὴν ἐπισκοπὴν διαδέχεται. ὃς ἄλλα μὲν βιβλία πολλὰ ἐξέθετο, καὶ εἰς τὸν βίον δὲ τοῦ διδασκάλου αὐτοῦ συνέγραψεν.

Caput IV.

Quòd Euſebio Pamphili mortuo, Acacius epiſcopatum Cæſareæ ſuſcepit.

INter hæc mortuo Euſebio Cæſareæ Palæſtinæ urbis Epiſcopo, cui cognomentum erat Pamphili, Acacius ejus diſcipulus epiſcopatum ſuſcepit. Qui quidem & alios complures edidit libros: & de vita præceptoris ſui Euſebii ſpecialiter ſcripſit.

B

Κεφ. εʹ.

Περὶ τῆς Κωνσταντίνου τοῦ νεωτέρου τελευτῆς.

ΜΕτ' οὐ πολὺ δὲ ὁ τοῦ βασιλέως Κωνσταντίου ἀδελφὸς ὃς ἦν ὁμώνυμος τῷ πατρὶ, ὁ νέος Κωνσταντῖνος, ἐπιὼν τοῖς μέρεσι τοῦ νέου ἀδελφοῦ Κώνσταντος, συμβαλὼν τε τοῖς στρατιώταις αὐτοῦ, ἀναιρεῖται ὑπ' αὐτῶν, ἐν ὑπατείᾳ Ἀκινδύνου καὶ Πρόκλου.

Caput V.

De morte Conſtantini Junioris.

NEc multo poſt Conſtantii Imp. frater patri cognominis, Junior Conſtantinus, dum in partes Conſtantis fratris ſui natu minoris conatur invadere, conſerto cum militibus ejus prælio interficitur, Conſulatu Acindyni & Procli.

Κεφ. ϛʹ.

Ὡς Ἀλέξανδρος ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος τελευτῶν, ὑπόψηφον πεποίηκε Παῦλον καὶ Μακεδόνιον.

ΥΠὸ δὲ τὸν αὐτὸν τοῦτον χρόνον κατὰ τὴν Κωνσταντίνου πόλιν, ἑτέρα ταῖς προτέραις ἐπισυμπλέκεται ταραχὴ, ἐξ αἰτίας τοιαύτης. Ἀλέξανδρος ὁ κατὰ τήνδε τὴν πόλιν τῶν ἐκκλησιῶν προεστὼς, ὁ τὴν πρὸς Ἄρειον μάχην ἀγωνισάμενος, τὸν ἐνθάδε βίον ἀπέλειπεν, εἰκοσιτρία μὲν ἔτη κατὰ τὴν ἐπισκοπὴν διαλείψας, ἐνενήκοντα καὶ ὀκτὼ δὲ ἔτη τὰ πάντα βιοὺς, οὐδένα εἰς τὸν αὐτοῦ τόπον χειροτονήσας· ἐνετείλατο δὲ τοῖς καθήκουσιν ἑλέσθαι δυοῖν τὸν ἕτερον, ὧν αὐτὸς ὀνομάσειεν· καὶ εἰ μὲν βούλοιντο διδασκαλικὸν ἐν ταυτῷ καὶ βίου Χριστοῦ μαρτυρούμενον, Παῦλον τὸν ὑπ' αὐτοῦ χειροτονηθέντα πρεσβύτερον, ἄνδρα νέον μὲν τὴν ἡλικίαν, προβεβηκότα δὲ ταῖς φρεσίν· εἰ δὲ μόνον ἐκ τοῦ προσχήματος τῆς εὐλαβείας δεικνύμενον, αἱρεῖσθαι Μακεδόνιον, διάκονον τυγχάνοντα μὲν ἤδη πάλαι τῆς ἐκκλησίας, τῇ ἡλικίᾳ δὲ γέροντα· ἐκ τούτου μείζων φιλονεικία περὶ χειροτονίας γίνεται ἐπισκόπου, καὶ τὴν ἐκκλησίαν διετάραττεν· ἐπεὶ γὰρ ὁ λαὸς εἰς δύο διετέτμητο μέρη· τῶν μὲν προσκειμένων τῷ Ἀρειανῷ δόγματι· τῶν δὲ φρονούντων καθὰ ἡ ἐν Νικαίᾳ σύνοδος ὥρισε· καὶ ἕως μὲν

Caput VI.

Quomodo Alexander Conſtantinop. Epiſcopus, Paulum & Macedonium propoſuit ordinandos.

C

SUb idem tempus Conſtantinopoli poſt illos tumultus quos ſupra retulimus, alius continuò excitatus eſt hujusmodi de cauſa. Alexander Eccleſiæ illius urbis Epiſcopus, qui contra Arium ſtrenuè dimicaverat, cùm tres quidem ac viginti annos in epiſcopatu egiſſet; octo vero ac nonaginta vixiſſet, ex hac luce migravit, nemine in ſuum locum ſubrogato. Mandavit tamen iis penes quos jus eligendi erat, ut alterum ex duobus quos ipſe nominaret, eligerent. Ac ſi quidem eum vellent qui & ad docendum idoneus, & vitæ ac morum integritate conſpicuus eſſet, Paulum quem ipſe presbyterum ordinarat, aſſumerent: ætate quidem adhuc juvenem, ſed prudentiâ ſenem. Sin eum ſibi mallent qui externâ tantùm ſpecie gravitatis commendaretur, Macedonium eligerent, qui Eccleſiæ illius jampridem erat Diaconus, & ad ſenilem jam vergebat ætatem. Hinc vero in deligendo epiſcopo major exorta contentio, Eccleſiam conturbavit. Nam populus duas in partes diviſus erat; his Ariano faventibus dogmati: illis Nicæni Concilii decreta defendentibus. Et ſuperſtite quidem

D